# ΠΤΟΛΕΜΑΙΟΥ

## ἈΠΟΤΕΣΜΑΤΙΚΩΝ ΤΕΤΑΡΤΟΝ.

Τὰ μὲν οὖν πρὸ τῆς γενέσεως, καὶ κατ᾽ αὐτὴν τὴν γένεσιν δυνάμενα θεωρεῖσθαι. καὶ ἔτι τῶν μετὰ τὴν γένεσιν, ὅσα τῆς συστάσεως ἐστὶν ἴδια τὸ καθόλου ποιὸν τῶν συγκριμάτων ἐμφαίνοντα, σχεδὸν ταῦτα ἂν εἴη. τῶν δὲ κατὰ τὸ ἐκτὸς συμβεβηκότων, καὶ ἑξῆς ὀφειλόντων διαλαμβάνεσθαι, προηγεῖται μὲν ὁ περὶ τύχης κτητικῆς τε καὶ ἀξιωματικῆς λόγος συνῆπται δ᾽ ὥσπερ ἡ μὲν κτητικὴ τοῖς τοῦ σώματος οἰκειώσεσιν ἡ δ᾽ ἀξιωματικὴ τοῖς τῆς ψυχῆς.

### Περὶ τύχης κτητικῆς.

Τὰ μὲν οὖν τῆς κτήσεως ὁποῖά τινα ἔσται, ληπτέον ἀπὸ τοῦ καλουμένου κλήρου τῆς τύχης, μόνου μέντοι καθ᾽ ὃν πάντοτε τὴν ἀπὸ τοῦ ☉ ἐπὶ τὴν ☾ διάστασιν ἐκβάλλομεν ἀπὸ τοῦ ὡροσκόπου, καὶ ἐπὶ τῶν τῆς ἡμέρας καὶ ἐπὶ τῶν τῆς νυκτὸς γεννωμένων, δι᾽ ἃς εἴπομεν ἐν τοῖς περὶ χρόνων ζωῆς αἰτίας, σκοπεῖν οὖν δεήσει τοὺς τοῦ συνισταμένου τοῦ * τρόπον τοῦ δωδεκατημορίου λαβόντας τὴν δεσποτίαν, καὶ πῶς ἔχουσιν οὗτοι δυνάμεως καὶ οἰκειότητος, καθ᾽ ὃν ἐν ἀρχῇ διωρισάμεθα τρόπον. ἔτι δὲ τούτοις συσχηματιζομένους αὐτοὺς καθυπερτεροῦντας τῶν τῆς αὐτῆς ἢ τῆς ἐναντίας αἱρέσεως ἐν δυνάμει ὄντες οἱ τοῦ κλήρου τὴν οἰκοδεσποτίαν λαβόντες, ποιοῦσι πολυκτήμονας. καὶ μάλιστα ὅταν ἀπὸ τῶν φώτων ἐκείνως τύχωσι μαρτυρηθέντες. ἀλλ᾽ ὁ μὲν τοῦ ♄, διὰ θεμελίων ἢ ναυκληρειῶν, ἢ γεωργιῶν. ὁ δὲ τοῦ ♃, διὰ πίστεως, ἢ ἐπιτροπιῶν, ἢ ἱερατειῶν. ὁ δὲ τοῦ ♂, διὰ στρατειῶν καὶ ἡγεμονιῶν. ὁ δὲ τῆς ♀, διὰ φίλων, ἢ γυναικείων δωρεῶν. ὁ δὲ τοῦ ☿, διὰ λόγου, καὶ ἐμπορειῶν. ἰδίως δ᾽ ὁ τοῦ ♄ τῇ κτητικῇ τύχῃ συνοικειούμενος, ἐὰν τῷ τοῦ ♃ συσχηματισθῇ, κληρονομίας περιποιεῖ. καὶ μάλιστα ὅταν ἐπὶ τῶν ἄνω κέντρων τοῦτο συμβῇ τοῦ ♃ δυόντος ἐν δισώμῳ ζῳδίῳ τυγχάνοντος, ἢ καὶ τὴν συναφὴν τῆς ☾ ἐπέχοντος. τότε γὰρ καὶ εἰς υἱοθεσίαν ἀναχθέντες, ἀλλότρια κληρονομοῦσι. κἂν μὲν οἱ τῆς αὐτῆς αἱρέσεως τοῖς οἰκοδεσπόταις τὰς μαρτυρίας τῶν οἰκοδεσποτιῶν αὐτοὶ τυγχά-

♀